# 1. Chronika 8

Septuaginta (LXX)

**1** καὶ βενιαμιν ἐγέννησεν τὸν βαλε πρωτότοκον αὐτοῦ καὶ ασβηλ τὸν δεύτερον ααρα τὸν τρίτον

**2** νωα τὸν τέταρτον καὶ ραφη τὸν πέμπτον

**3** καὶ ἦσαν υἱοὶ τῷ βαλε αδερ καὶ γηρα καὶ αβιουδ

**4** καὶ αβισουε καὶ νοομα καὶ αχια

**5** καὶ γηρα καὶ σωφαρφακ καὶ ωιμ

**6** οὗτοι υἱοὶ αωδ οὗτοί εἰσιν ἄρχοντες πατριῶν τοῖς κατοικοῦσιν γαβεε καὶ μετῴκισαν αὐτοὺς εἰς μαναχαθι

**7** καὶ νοομα καὶ αχια καὶ γηρα οὗτος ιγλααμ καὶ ἐγέννησεν τὸν νаανα καὶ τὸν αχιχωδ

**8** καὶ σααρημ ἐγέννησεν ἐν τῷ πεδίῳ μωαβ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν ωσιμ καὶ τὴν βααδα γυναῖκα αὐτοῦ

**9** καὶ ἐγέννησεν ἐκ τῆς αδα γυναικὸς αὐτοῦ τὸν ιωβαβ καὶ τὸν σεβια καὶ τὸν μισα καὶ τὸν μελχαμ

**10** καὶ τὸν ιαως καὶ τὸν σαβια καὶ τὸν μαρμα οὗτοι ἄρχοντες πατριῶν

**11** καὶ ἐκ τῆς ωσιμ ἐγέννησεν τὸν αβιτωβ καὶ τὸν αλφααλ

**12** καὶ υἱοὶ αλφααλ ωβηδ μεσσααμ σεμμηρ οὗτος ᾠκοδόμησεν τὴν ωνω καὶ τὴν λοδ καὶ τὰς κώμας αὐτῆς

**13** καὶ βεριγα καὶ σαμα οὗτοι ἄρχοντες τῶν πατριῶν τοῖς κατοικοῦσιν αιλαμ καὶ οὗτοι ἐξεδίωξαν τοὺς κατοικοῦντας γεθ

**14** καὶ ἀδελφὸς αὐτοῦ σωσηκ καὶ ιαριμωθ

**15** καὶ ζαβαδια καὶ ωρηρ καὶ ωδηδ

**16** καὶ μιχαηλ καὶ ιεσφα καὶ ιωχα υἱοὶ βαριγα

**17** καὶ ζαβαδια καὶ μοσολλαμ καὶ αζακι καὶ αβαρ

**18** καὶ ισαμαρι καὶ ιεζλια καὶ ιωβαβ υἱοὶ ελφααλ

**19** καὶ ιακιμ καὶ ζεχρι καὶ ζαβδι

**20** καὶ ελιωηναι καὶ σαλθι καὶ ελιηλι

**21** καὶ αδαια καὶ βαραια καὶ σαμαραθ υἱοὶ σαμαϊ



Druckausgabe erzeugt am 05.08.2025 auf bibelkommentare.de

**22** καὶ ισφαν καὶ ωβηδ καὶ ελεηλ

**23** καὶ αβαδων καὶ ζεχρι καὶ αναν

**24** καὶ ανανια καὶ αμβρι καὶ αιλαμ καὶ αναθωθια

**25** καὶ αθιν καὶ ιεφερια καὶ φελιηλ υἱοὶ σωσηκ

**26** καὶ σαμσαρια καὶ σααρια καὶ ογοθολια

**27** καὶ ιαρασια καὶ ηλια καὶ ζεχρι υἱοὶ ιρααμ

**28** οὗτοι ἄρχοντες πατριῶν κατὰ γενέσεις αὐτῶν ἄρχοντες οὗτοι κατῴκησαν ἐν ιερουσαλημ

**29** καὶ ἐν γαβαων κατῴκησεν πατὴρ γαβαων καὶ ὄνομα γυναικὶ αὐτοῦ μααχα

**30** καὶ υἱὸς αὐτῆς ὁ πρωτότοκος αβαδων καὶ σουρ καὶ κις καὶ βααλ καὶ νηρ καὶ ναδαβ

**31** καὶ γεδουρ καὶ ἀδελφὸς αὐτοῦ καὶ ζαχουρ καὶ μακαλωθ

**32** καὶ μακαλωθ ἐγέννησεν τὸν σεμαα καὶ γὰρ οὗτοι κατέναντι τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν ιερουσαλημ μετὰ τῶν ἀδελφῶν αὐτῶν

**33** καὶ νηρ ἐγέννησεν τὸν κις καὶ κις ἐγέννησεν τὸν σαουλ καὶ σαουλ ἐγέννησεν τὸν ιωναθαν καὶ τὸν μελχισουε καὶ τὸν αμιναδαβ καὶ τὸν ασαβαλ

**34** καὶ υἱοὶ ιωναθαν μεριβααλ καὶ μεριβααλ ἐγέννησεν τὸν μιχια

**35** καὶ υἱοὶ μιχια φιθων καὶ μελχηλ καὶ θερεε καὶ αχαζ

**36** καὶ αχαζ ἐγέννησεν τὸν ιωιαδα καὶ ιωιαδα ἐγέννησεν τὸν γαλεμαθ καὶ τὸν ασμωθ καὶ τὸν ζαμβρι καὶ ζαμβρι ἐγέννησεν τὸν μαισα

**37** καὶ μαισα ἐγέννησεν τὸν βαανα ραφαια υἱὸς αὐτοῦ ελασα υἱὸς αὐτοῦ εσηλ υἱὸς αὐτοῦ

**38** καὶ τῷ εσηλ ἓξ υἱοί καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν εζρικαμ πρωτότοκος αὐτοῦ καὶ ισμαηλ καὶ σαραια καὶ αβδια καὶ αναν πάντες οὗτοι υἱοὶ εσηλ

**39** καὶ υἱοὶ ασηλ ἀδελφοῦ αὐτοῦ αιλαμ πρωτότοκος αὐτοῦ καὶ ιαις ὁ δεύτερος ελιφαλετ ὁ τρίτος

**40** καὶ ἦσαν υἱοὶ αιλαμ ἰσχυροὶ ἄνδρες δυνάμει τείνοντες τόξον καὶ πληθύνοντες υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν ἑκατὸν πεντήκοντα πάντες οὗτοι ἐξ υἱῶν βενιαμιν



Druckausgabe erzeugt am 05.08.2025 auf bibelkommentare.de